ΑΘΗΝΑ.

ἐκεῖσε πρῶτ' ἄνελθε· κοινώσει λόγους,
καὶ συνθελήσεις ἃν ἐγὼ πρᾶξαι θέλω;

ΠΟΣΕΙΔΩΝ.

μάλιστ'· ἀτὰρ δὴ καὶ τὸ σὸν θέλω μαθεῖν,
πότερον Ἀχαιῶν οὕνεκ' ἦλθες, ἢ Φρυγῶν.

ΑΘΗΝΑ.

τοὺς μὲν πρὶν ἐχθροὺς Τρῶας εὐφρᾶναι θέλω,
στρατῷ δ' Ἀχαιῶν νόστον ἐμβαλεῖν πικρόν.

ΠΟΣΕΙΔΩΝ.

τί δ' ὧδε πηδᾷς ἄλλοτ' εἰς ἄλλους τρόπους,
μισεῖς τε λίαν καὶ φιλεῖς, ὃν ἂν τύχῃ;

ΑΘΗΝΑ.

οὐκ οἶσθ' ὑβρισθεῖσάν με καὶ ναοὺς ἐμούς;

ΠΟΣΕΙΔΩΝ.

οἶδ', ἡνίκ' Αἴας εἷλκε Κασσάνδραν βίᾳ.

---

V. 61. κοινώσει. Vulgo κοινώσῃ. Secutus sum Porsoni regulam prolatam in Praefat. ad Hecub. p. IV., quod semel moneo.

V. 62. συνθελήσεις. Edd. omnes συμπονήσεις; sed illud exquisitius habent Mss. Cotton. et Flor. quod inconsiderate Musgrauius damnat. Similiter Hercul. Fur. 831.

> Ἥρα προσάψαι καινὸν αἷμ' αὐτῷ θέλει
> παῖδας κατακτείναντι· συνθέλω δ' ἐγώ.

Saepissime primitiuo suo compositum verbum opponitur, vt Phoeniss. 1289. Heracl. 26. 27. Suppl. 1007. 1063. etc. In Orest. v. 1224. συμπονεῖς oppositum certe habet cognatum nomen πόνους.

V. 70. οἶδ', ἡνίκ'. De hac locutione disputant Porsonus et Hermannus ad Hec. 112. et Schaeferus in Indice ad nouiss. Porson. Editionis repetitionem Lips. p. 542. s. v. ὅτε.